Eſt autem vt diei medium calidiſſimum, quia Soli proximum eſt, ſic noctis medium frigidiſſimum, quia remotiſſimũ. 16 Cur tẽporis feruidi noctes moleſtiores, quàm dies ſunt? An quia flatus omnes tunc conſileſcunt: anniuerſarij nanque illi, & præuij minus nocte quàm interdiu ſpirant.

17 Cur incorrupta durare poſſint, quæ vtribus continentur inflatis, aut vaſis bene opertis. An quia putent omnia, cùm mouentur: immotáque omnia ſunt, quæ plena: iſthæc autem plena. 18 Quam ob cauſam aere ſudo, apertóque frigus fit, acrius, quàm nubilo, cùm ſtellæ ſint calidæ, & cælum? An quia nihil tunc eſt, quod vaporem arcere, contineréque valeat, ſed diffundatur neceſſe eſt: at cælo nubilo arcetur, & Aquilone magis, quàm Auſtro, eadem illa de cauſa: Auſter enim nubes colligit: Aquilo diſpellit: & quidem Aquilone magis, quam Auſtro, euaporari videmus: & hyeme potius, quàm æſtate, aut propter diſſimilitudinem, aut quia vapor non niſi refrigerato humido calido, depromi poteſt. 19 Cur minus, quàm plus aeris calidius ſit, cùm anguſta omnia ſint calidiora? An quia magis mouetur, qui pluris eſt: motus autem frigorem acciere poteſt: cuius indicium, quòd calida, cùm mouentur, refrigerantur. 20 Cur aqua & terra putreant, aër, & ignis non putreãt? An quoniam omne, quod putret, calidiſſimũ fiat neceſſe eſt: igne autẽ calidius nihil eſt. An quia refrigerari prius oportet, quod putredinem concepturum eſt: ignis autem calidiſſimus ſemper eſt, aer verò igne refertus eſt: nihil autem putret, cùm calidum eſt, ſed refrigeretur antè oportet, quàm putreat. At aqua, & terra viciſſim modò calida, modò frigida effici poſſunt.

21 Cur cælum nubilum tepidius ſit, quàm apertum & placidum? Vtrũ vt veteres authores dixerunt, quia ſtellæ frigidæ ſint. An id abſurdum admodum eſt, ſed quia cęlo ſereno vapor exſtringi melius poteſt: indicium, quòd vento ſilente ros, & pruina conſiſtunt. Cùm igitur ſerenũ eſt, calor difflatur, quo humor eruitur, atque effertur. Ita aer frigidior fit: qua de cauſa humor à calore demiſſus irrorat: aſt cùm nubilum eſt, arcetur, & conſtat: quocirca nec ros, nec pruina contrahi poteſt, cùm nubilum eſt: ergo calor ad terram remanens, facit vt tepor amplior eſſe poſſit.

22 Cur altis ædibus aer ſoleat ventilari, reciprocaríque præſertim cùm tẽpus quietum eſt? An quòd aer prælaxo quodam contextu, & hiatu lento eſt: ergo cùm hic extrinſecus introire incœperit, cedit, & contrahitur

A ἔστι δὲ ἡ μεσημβρία θερμότατον, διὰ τὸ ἐγγύτατον ἡλίου· αἱ δὲ μέσαι νύκτες, ψυχρότεραι, διὰ τὸ ἐναντίον. ιϛ Διὰ τί αἱ νύκτες τῶν ἡμερῶν ἐν ταῖς ἀλέαις πνιγηρότεραι; ἢ διὰ τὴν ἄπνοιαν; οἱ γὰρ ἐτησίαι καὶ πρόδρομοι, τὰς νύκτας ἧττον πνέουσιν. ιζ Διὰ τί τὰ ἐν τοῖς ἀσκοῖς ἄσηπτα φυσηθεῖσι, καὶ ἐν τοῖς περιπωματιζομένοις; ἢ διότι σήπεται μὲν B κινούμενα; ἅπαντα δὲ τὰ πλήρη, ἀκίνητα· ταῦτα δὲ πλήρη. ιη Διὰ τί τῆς αἰθρίας μᾶλλον ψῦχος γίνεται, ἢ ἐπινεφέλων ὄντων· τὰ δὲ ἄστρα καὶ οὐρανὸς, θερμός; ἢ ὅτι οὐθὲν ἀποστέγει ἐν τῇ αἰθρίᾳ τὴν ἀτμίδα, ἀλλὰ διαχεῖται· ἐν δὲ τοῖς ἐπινεφέλοις ἀποστέγεται; καὶ βορείων γε ἢ νοτίων διὰ τὸ αὐτό. ὁ μὲν γὰρ νότος, ἄγει τὸ τοιοῦτον· ὁ δὲ, ἀπωθεῖ. καὶ ἀτμίζειν δὲ φαίνεται βορείοις μᾶλλον ἢ C νοτίοις, καὶ χειμῶνος ἢ θέρους. ἢ παρὰ τὸ ἀνόμοιον; ἢ ὅτι θερμοῦ ψυχομένου ἐστὶν, ἡ ἀτμίς; ιθ Διὰ τί ἀὴρ ὁ ἐλάττων, θερμότερος τοῦ πλείονος; αἱ γὰρ στενοχωρίαι ἀλεεινότεραι. ἢ διότι κινεῖται μᾶλλον ὁ πολύς· ἡ δὲ κίνησις ποιεῖ ψυχρόν; σημεῖον δὲ τούτου, ὅτι κινούμενα ψύχεται τὰ θερμά.

κ Διὰ τί ὕδωρ μὲν καὶ γῆ σήπεται, ἀὴρ δὲ καὶ D πῦρ οὐ σήπεται; ἢ ὅτι θερμότατον γίνεται τὸ σηπόμενον ἅπαν· πυρὸς δὲ οὐθὲν θερμότερον; ἢ ὅτι ψυχθῆναι δεῖ πρότερον; τὸ δὲ πῦρ, ἀεὶ θερμόν· ὁ δὲ ἀὴρ, πυρὸς πλήρης. σήπεται δὲ οὐθὲν θερμὸν, ἀλλὰ ψυχθέν· γῆ δὲ καὶ ὕδωρ [καὶ ἀὴρ,] καὶ θερμὰ καὶ ψυχρὰ γίνεται. κα Διὰ τί τὰ ἐπινέφελα, ἀλεεινότερα τῶν αἰθρίων; πότερον ὡς οἱ ἀρχαῖοι E ἔλεγον, ὅτι τὰ ἄστρα ψυχρά; ἢ λίαν τοῦτό γε ἄτοπον· ἀλλὰ διότι ἀτμίζει; ἐπισημαντέον δὲ, ὅτι ἐν νηνεμίᾳ ἡ δρόσος καὶ ἡ πάχνη γίνεται. ὅταν μὲν οὖν αἰθρία ᾖ, διαπνεῖ τὸ θερμὸν, ὑφ᾽ οὗ ἀνάγεται τὸ ὑγρόν· ὥστε ψυχρὸς ὁ ἀήρ. δι᾽ ὃ καὶ δροσίζει ἀφιέμενον τὸ ὑγρὸν ἀπὸ τοῦ θερμοῦ. ὅταν δὲ ἐπινέφελον ᾖ, ἀποστέγεται. δι᾽ ὃ οὐ γίνεται δρόσος οὐδὲ πάχνη ὄντων ἐπινεφέλων. περὶ οὖν τὴν F γῆν ὑπομένον τὸ θερμὸν, ποιεῖ τὴν ἀλέαν. κβ Διὰ τί ἐν τοῖς ὑψηλοῖς τῶν οἴκων ὁ ἀὴρ διευριπίζει, καὶ μάλιστα ταῖς εὐδίαις; ἢ διότι ὁ ἀὴρ πολύκενός τίς ἐστι τὴν σύγκρισιν. ὅταν οὖν ἄρξηται εἴσω ῥεῖν, συγχωρεῖ ὁ ἐν τῷ